# TEZAUR LITURGIC

## 25 AUGUST
## GHERASIM MIKRAGHIANANITUL

# PARACLISUL SF.APOSTOL TIT AL CRETEI

ATENA,2020


ΑΠΟΣΤΟΛΙΚΗ ΔΙΑΚΟΝΙΑ
ΤΗΣ ΕΚΚΛΗΣΙΑΣ ΤΗΣ ΕΛΛΑΔΟΣ

# 25 ΑΥΓΟΥΣΤΟΣ
# ΚΑΝΩΝ ΠΑΡΑΚΛΗΤΙΚΟΣ
# ΤΙΤΟΣ ΑΠΟΣΤΟΛΟΣ

**Ποίημα Γερασίμου Μοναχοῦ Μικραγιαννανίτου**

Ευλογήσαντος του Ιερέως…Κύριε, εἰσάκουσον τῆς προσευχῆς μου…

Θεός Κύριος, και επέφανεν ημίν· ευλογημένος ο ερχόμενος εν ονόματι Κυρίου.
Στίχ. α' Ἐξομολογείσθε τω Κυρίῳ, και επικαλείσθε το όνομα το άγιον Αυτού.
Στίχ. β' Πάντα τα έθνη εκύκλωσαν με, και τώ ονόματι Κυρίου ημυνάμην αυτούς.
Στίχ. γ' Παρά Κυρίου εγένετο αύτη, και έστι θαυμαστή εν ὀφθαλμοίς ημών.

Είτα τα κάτωθι Τροπάρια. Ήχος δ'. Ο υψωθείς εν τω Σταυρώ.
Ως κοινωνός του θεορρήμονος Παύλου, και μυστηρίων υπηρέτης των θείων, υπερ ημών ικέτευε δεόμεθα, όπως λυτρωθείημεν, πειρασμών και κινδύνων, Τίτε παρμμακάριστε, μαθητά του Σωτήρος, και των πταισμάτων λύσιν εκ Θεού, ταις σαις πρεσβείαις αεί κομιζώμεθα.

Δόξα
Του Παύλου συνέκδημος και μαθητής γεγονώς, την Κρήτην κατηύγασας, Τίτε απόστολε, τη αίγλη των λόγων σου. Ως ουν ταύτην ερρύσω σκότους της ασεβείας, ούτω και νυν τους πόθω σε τιμώντας, Παμμάκαρ, ως έχων παρρησίαν πολλήν, ρύσαι παντός πειρασμού.
Και νυν. Θεοτοκίον.
Ου σιωπήσομεν, ποτέ, Θεοτόκε, τας δυναστείας σου λαλείν οι ανάξιοι, εί μη γαρ Συ προϊστασο πρεσβέβουσα, τις ημάς ερρύσατο, εκ τοσούτων κινδύνων; Τις δε διεφύλαξεν εως νύν ελευθέρους; Ούκ αποστώμεν, Δέσποινα , εκ σου, σους γαρ δούλους σώζεις αεί, εκ παντοίων δεινών.

Ο Ν' Ψαλμός

Ο κανών του Αποστόλου του οποίου η ακροστιχίδα είναι "Τίτε δίδου ημίν θείαν χάριν. Γερασίμου."

Ωδή α' Ήχος πλ. δ'.
Ταις θείας λαμπόμενος αστραπαίς, Απόστολε Τίτε, της ψυχής μου τον σκοτασμόν, φωτί των αγίων πρεσβειών του, ως αγαθός μου προστάτης απέλασον.
Ιλέωσαι Τίτε ταις σαις λιταίς, Χριστόν τον Σωτήρα, τοις ενπίστει ειλικρινεί, τη ση προσιούσι προστασία, ως αν πλησθώμεν της θείας χρηστότητος.
Τους βρόχους διάλυσον των παθών, Τίτε της ψυχής

μου, τη θερμή σου επισκοπή, και δίδου μοι δύναμιν βαδίζειν, της μετανοίας οδόν την σωτήριον.
Θεοτοκίον
Εκ σου ανατέταλκε της ζωής, ο Ήλιος είδει, ανθρωπίνω δίχα τροπής, ου ταις φωταυγείαις Θεοτόκε, την σκοτισθείσαν ψυχήν μου καταύγασον.

Ωδή γ'. Ουρανίας αψίδος.
Δεδεγμένος την χάριν, του Παντουργού Πνεύματος, οία μαθητής του Κυηρίου, Τίτε απόστολε, εξ επηρείας με, των ακαθάρτων πνευμάτων, λύτρωσαι πρεσβαίαις σου, καθικετεύω σε.
Ιλασμόν ημίν αίτει, και των παθών ίσαιν, και πλημμελημάτων παντοίων, την απολύτρωσιν, Τίτε απόστολε, τοις αληθή σε προστάτην, κεκτημένοις Άγιε και αντιλήπτορα.
Δωρεών υποφήτης, των Θεικών πέφηνας· όθεν των θερμών προσιόντων, τη αντιλήψει σου, Τίτε απόστολε, πλήρου αεί τας αιτήσεις, καθ' ημών τα σκάνδαλα, λύων του όφεως.
Θεοτοκίον
Ο των όλων Δεσπότης, και Ποιητής άχραντε εκ των σων αγίων αιμάτων, τεχθείς ως άνθρωπος, ανθρώπων έδειξε, μέγα σε τείχος και σκέπην· διο σου τας χάριτας, πάντες κηρύττομεν.

Διάσωσον πάσης ανάγκης και βλάβης ταις σαις πρεσβείαις, τους εν πίστει Τίτε απόστολε σπεύδοντας,

τη ση θερμή ικεσία προς τον Σωτήρα.
Επίβλεψον εν ευμενεία πανύμνητε Θεοτόκε, επί την εμής χαλεπήγν του σώματος κάκωσιν, και ίσαι της ψυχής μου το άλγος.

Κάθισμα.Ήχος β'. Πρεσβεία θερμή
Χριστου μαθητά, και Παύλου συνακόλουθε, δυσώπει αεί, λυτρούσθαι πάσης θλίψεως, και πάσης περιστάσεως, θεηγόρε Τίτε απόστολε, τους εκζητούντας την σην αρωγήν, και μέλποτνας μάκαρ τους αγώνας σου.

Ωδή δ'. Εισακήκοα Κύριε.
Ύδωρ θείας χρηστότητος, ταις σαις ικεσίαις βλύσον απόστολε, τοις εν δίψει παραπτώσεων, κατατηκομένοις τε και θλίψεων.
Η πρεσβεία σου γένοιτο, τείχος και οχύρωμα Τίτε ένδοξε, εν ποικίλαις περιστάσεσι, τοις ειλικρινώς σε μακαρίζουσι.
Μαθητής ενθεώτατος, πέλων του Σωτήρος Τίτε απόστολε, προς αγάπην θείαν πτέρωσον, ημών την ψυχήν και την διάνοιαν.
Θεοτοκίον
Ιησούν τον φιλάνθρωπον, και Σωτήρα πάντων σαρκί κυήσασα, σωτηρίας με αξίωσων, Κεχαριτωμένη Αειπάρθενε.

Ωδή ε'. Φώτισον ημάς
Νόσων και παθών, ασινείς ημάς διάσωζε, και ειρήνην ημ΄ν αίτει εκ Θεού, και χαράν την ουρανίαν Τίτε πάνσοφε.
Θραύσον την ισχύν, του δολίου πολεμήτορος, του ζητούντος την απώλειαν ημών, ως προστάτης ημών Τίτε και υπέρμαχος.
Έχων προς Χριστόν, παρρησίαν πολλήν άγιε, καθικέτευε αεί υπέρ ημών, ως αν βίον διανύωμεν γαλήνιον.
Θεοτοκίον.
Ίασαι Αγνή, της ψυχής μου τα συντρίμματα, και του σώματος τα πάθη τα δεινά, οία μήτηρ του Κυρίου πολυεύσπλαχνός.

Ωδή στ'. Την δέησιν εκχεώ.
Ακτίσι, της ευσεβείας φωτίσας, τους εν σκότει της απάτης κειμένους, την σκοτισθείσαν ψυχήν μου εννοίαις, ταις πονηραίς φωταγώγησον ένδοξε, ίνα πορεύσωμαι πιστώς, εν ταις τρίβοις του θείου θελήματος.
Νεκρώσας, την του Βελίαρ απάτην, ζωής θείας εχρημάτισας κήρυξ· αλλά προφθάσας με Τίτε τρισμάκαρ, προς απαθείας λιμένα κυβέρνησον, κα προς γαληνη αληθή, πολιτείας αμέμπτου απόστολε.
Θεοτοκίον.
Αγίων, αγιωτέρα υπάρχεις, και αγγέλων βασιλίς και Κυρία, ως τον Πανάγιον Λόγον τεκούσα,

σωματωθέντα αγνή εξ αιμάτων σου· όθεν αγίασον καμού, και ψυχήν και καρδίαν Πανάχραντε.

Διάσωσον πάσης ανάγκης και βλάβης ταις σαις πρεσβείαις, τους εν πίστει Τίτε απόστολε σπεύδοντας, τη ση θερμή ικεσία προς τον Σωτήρα.
Άχραντε, η δια λόγου τον Λόγον ανερμηνεύτως, επ' εσχάτων των ημερών τεκούσα δυσώπησον, ως έχουσα μητρικήν παρρησίαν.

Κοντάκιον.Ήχος β'. Τοις των αιμάτων σου.
Ως κεκτημένος την χάριν του Πνεύματος, Τίτε απόστολε δίδου εκάστοτε, της βοηθείας της σης τα δωρήματα, τοις προσιούσι τη θεία πρεσβεία σου, κινδύνων και πόνων ρυόμενος.

Προκείμενον. Ήχος δ'.
Εις πάσαν την γης εκήλθεν ο φθόγγος αυτού και εις τα πέρατα της οικουμένης τα ρήματα αυτού.
Στιχ. Οι ουρανοί διηγούνται δόξα Θεού, ποίησιν δε χειρών αυτού αναγγέλει το στερέωμα

Ευαγγέλιον. Εκ του κατά Λουκάν. 10,16-21
Ὁ ἀκούων ὑμῶν ἐμοῦ ἀκούει, καὶ ὁ ἀθετῶν ὑμᾶς ἐμὲ ἀθετεῖ· ὁ δὲ ἐμὲ ἀθετῶν ἀθετεῖ τὸν ἀποστείλαντά με.Ὑπέστρεψαν δὲ οἱ ἑβδομήκοντα μετὰ χαρᾶς λέγοντες· Κύριε, καὶ τὰ δαιμόνια ὑποτάσσεται ἡμῖν ἐν τῷ ὀνόματί σου. Εἶπε δὲ αὐτοῖς· ἐθεώρουν τὸν σατανᾶν

ὡς ἀστραπὴν ἐκ τοῦ οὐρανοῦ πεσόντα. ἰδοὺ δίδωμι ὑμῖν τὴν ἐξουσίαν τοῦ πατεῖν ἐπάνω ὄφεων καὶ σκορπίων καὶ ἐπὶ πᾶσαν τὴν δύναμιν τοῦ ἐχθροῦ, καὶ οὐδὲν ὑμᾶς οὐ μὴ ἀδικήσῃ. πλὴν ἐν τούτῳ μὴ χαίρετε, ὅτι τὰ πνεύματα ὑμῖν ὑποτάσσεται· χαίρετε δὲ ὅτι τὰ ὀνόματα ὑμῶν ἐγράφη ἐν τοῖς οὐρανοῖς.Ἐν αὐτῇ τῇ ὥρᾳ ἠγαλλιάσατο τῷ πνεύματι ὁ Ἰησοῦς καὶ εἶπεν· ἐξομολογοῦμαί σοι, πάτερ, κύριε τοῦ οὐρανοῦ καὶ τῆς γῆς, ὅτι ἀπέκρυψας ταῦτα ἀπὸ σοφῶν καὶ συνετῶν, καὶ ἀπεκάλυψας αὐτὰ νηπίοις· ναί, ὁ πατήρ, ὅτι οὕτως ἐγένετο εὐδοκία ἔμπροσθέν σου.

Δόξα... Ταις του αποστόλου πρεσβείες Ελεήμων εξάλειψον τα πλήθη των εμών εγκλημέτων.
Και νυν... Ταις της Θεοτόκου πρεσβείαις Ελεήμων εξάλειψον τα πλήθη των εμών εγκλημάτων.
Προσόμοιον. Ήχος πλ.β'. Όλην αποθέμενοι.
Στίχ. Ελέησον με ο Θεός κατά το μέγα ελεός σου και κατά το πλήθος των οικτιρμών σου, εξάλειψον το ανόμημά μου.
Φέγγος το της πίστεως, εν τη ψυχή δεδεγμάνος, του Παύλου συνόμιλος, Τίτε και συμμέτοχος αναδέδειξαι, και πολλούς ήνυσας, συν αυτών αγώνας, δια τουτο σου δεόμεθα· Χριστόν ικέτευε, πόνων εκλυτρούσθαι και θλίψεων, και χαλεπών στενώσεων, και επιφορών του αλάστορος, τους τη ση εικόνι, εν πίστει παρεστώτας και ωδήν, νυν σοι ικέσιον άδοντας, και παρακαλούντας σε.

Ωδή ζ'. Οι εκ της Ιουδαίας.
Ρείθροις θείων δογμάτων, τον βυθόν της απάτης, Τίτε εξήρανας· και νυν ρείθροις αΰλοις, τωνπρεσβειών σου, την ψυχήν μου κατάρδευσον, ίνα βλαστήσει καρπόν, γνησίας μετανοίας.
Ισχυρός απεφάνθης, εναντίον της πλάνης, Τίτε απόστολε· και νυν ενίσχυσόν με, κατά της ολεθρίου, επηρείας του όφεως, ίνα ρυσθώ των αυτού παγίδων ψυχοφθόρων.
Νοσημάτων ποικίλων, και παθών ακαθάρτων, ημάς απάλλαξον, και άφειν πταισμάτων, εξαίτει θείε Τίτε, τοις εν πίστει κραυγάζουσιν· Ο των πατέρων ημών, Θεός ευλογητός ει.
Θεοτοκίον.
Γέλως ώφθην Παρθένε, τοις εχθροίς διαπράττων, αεί τα άτοπα· αλλά τη ση δυνάμει, ανθέλκυσον τον νουν μου, εννοιών του αλάστορος, και ιθυνόν με αγνή, προς μετανοίας τρίβον.

Ωδή η'. Τον Βασιλέα.
Εκ της μανίας, του σοφιστου της κακίας, απολύτρωσαι ω Τίτε θεηγόρε, τους επιζητούντας, την σην επιστασίαν.
Ρώσιν παράσχου, και την κατ' άμφω υγείαν, τοις προστρέχουσι τη ση πρεσβεία Τίτε, και υπερυψούσι, Χριστόν τον Βασιλέα.
Από Κυρίου, λαβών πλουσίαν την χάριν, χάριν αίτησαι και έλεος ω Τίτε, τοις προσπτυσσομένοις, την

θείαν σου εικόνα.
Θεοτοκίον.
Σει ει Παρθένε, αμαρτωλών σωτηρία· διο ρύσαι με κακίστης συνηθείας και προς σωτηρίας, λιμένα ίθυνόν με.

Ωδή θ'. Κυρίως Θεοτόκον.
Ισχύν ενδεδυμένος, Τίτε την εξ ύψους, τον ισχυρόν εν κακία κατάβαλε, τον καθ᾽ημών ωρυόμενον, ώσπερ λέοντα.
Μη παύση συν των Παύλω, Τίτε ικετεύων, υπέρ ημών τον φιλάνθρωπον Κύριον, ίνα ρυώμεθα πάσης, εναντιότητος.
Ο Κρήτης Ποιμενάρχης, Απόστολε Τίτε, και της πιστών Εκκλησίας διδάσκαλος, τη ιερά διδαχή σου, ημάς συνέτισον.
Θεοτοκίον.
Υδάτων απωλείας, ρύσαι με Παρθένε, και της ζωής με τοις νάμασι πότισον, αεί διψώντα την χάριν, της ευσπλαχνίας σου.

Άξιον εστίν ως αληθώς μακαρίζειν σε την Θεοτόκον, την αειμακάριστον και παναμώμητον και μητέρα του Θεού ημών. Την τιμιωτέραν των Χερουβείμ και ενδοξοτέραν ασυγκρίτως των Σεραφείμ, την αδιαφθόρως Θεὸν Λόγον τεκούσαν, την όντως Θεοτόκον, σε μεγαλύνομεν.

Και τα μεγαλυνάρια

Χαίροις ευσεβείας υφηγητής, απόστολε Τίτε, ως του Παύλου συγκοινωνός· χαίροις ο της πλάνης αποτεμών τας ρίζας, κηρύγματι τω θείω, Πνεύματος χάριτι.

Τω φωτί τω θείω καταυγασθείς, του Ευαγγελίου, ανεδείχθεις μυσταγωγός, και τω θείω Παύλω, των πόνων κοινωνήσας, ω Τίτε θεηγόρε, Χριστόν εδόξασας.

Λόγω τε και θαύμασιν ιερείς, Τίτε διαλάμπων, ως απόστολος του Χριστού, την γεγενημένην, εν κόσμω σωτηρίαν, δια Σταυρού του θείου, πάσιν εκήρυξας.

Κρήτης ανεδείχθης θείος Ποιμήν, Τίτε θεηγόρε, ως των άνω μυσταγωγός· όθεν μεσιτεύων, μη παύση τω Κυρίω, υπέρ των εξαιτούντων, την προστασίαν σου.

Χαίροις ο του Παύλου συγκοινωνός, συνόμιλος θείος, και συνέκδημος ιερός, Τίτε θεηγόρε, μεθ' ου Χριστόν δυσώπει, λυτρούσθαι πάσης βλάβης, ημάς και θλίψεως.

Πρέσβευε απαύστως Τίτε σοφέ, τω σω Διδασκάλω, και Σωτήρι πάντων Χριστώ, ρύεσθαι κινδύνων, και πάσης δυσπραγίας, τους σε προστάτην θείον, πλουτούντας Άγιε.

Πάσαι των αγγέλων αι στρατιαία, Πρόδρομε Κυρίου, Αποστόλων η δωδεκάς, οι Άγιοι πάντες μετά της Θεοτόκου, ποιήσατε πρεσβείας, εις το σωθήναι ημάς.

Δίστιχον. Τίτε την παράκλησιν ταύτην προσδέχου, Ην σοι προσήγαγε Γεράσιμος ήδη.